*βασιλῆς βασιλέως ὕποχοι μεγάλου,*
*σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,*
*τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,*
*φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην*
*ψυχῆς εὐτλήμονι δόξῃ.*
*Ἀρτεμβάρης θ' ἱππιοχάρμης,*
*καὶ Μασίστρης, ὅ τε τοξοδάμας*
*ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ'*
*ἵππων τ' ἐλατὴρ Σωσθάνης.*
*ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων*
*Νεῖλος ἔπεμψεν· Σουσισκάνης,*
*Πηγασταγὼν Αἰγυπτογενής,*
*ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων*
*μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους*
*Θήβας ἐφέπων Ἀριόμαρδος,*
*καὶ ἑλειοβάται ναῶν ἐρέται,*
*δεινοὶ πλῆθός τ' ἀνάριθμοι.*
*ἁβροδιαίτων δ' ἕπεται Λυδῶν*
*ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς*
*κατέχουσιν ἔθνος, τοὺς Μιτρογάθης*

---

24. *βασιλῆς βασιλέως: βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. ὕποχοι] ὕπαρχοι.* 26. *ἱπποβάται] ἱππικοὶ καὶ τοξόται.* 27. *φοβεροὶ μὲν ἰδεῖν: ἐκ προσόψεως ἱκανοὶ φοβεῖν ὁμοίως καὶ ἐκ τῆς πείρας.* 28. *δόξῃ] γνώμῃ, ἢ φιλοτιμίᾳ. ἐν ἄλλοις, ἐνυποστάτῳ δοκήσει καὶ πείσματι ψυχῆς.* 34. *Νεῖλος] ὑποχείριοι γὰρ ἦσαν τότε Περσῶν οἱ Αἰγύπτιοι. Σουσισκάνης] τινὲς διαιροῦσι Σουσισκάνης καὶ Πηγὰς καὶ Ταγών. τὰ γὰρ ὀνόματα πέπλακε καὶ οὐκ ἔστιν Αἰγυπτιακά.* 37. *Αἰγυπτίους.* 39. *καὶ ἑλειοβάται: οἱ τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες. ἢ κοινῶς Αἰγύπτιοι. ἑλώδης γὰρ ἡ Αἴγυπτος. οἱ δέ, οἱ καὶ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων.* 41. *ἁβροδιαίτων δ' ἕπεται: ὄντως γὰρ τοιοῦτοι οἱ Λυδοί. καὶ τό παρ' Ἀνακρέοντι Λυδοπαθεῖς τινὲς ἀντὶ τοῦ ἡδυπαθεῖς, καὶ τὸ περιφερόμενον ‚μήτε μοι Λυδῶν καρύκας μήτε μαστίγων ψόφους.' καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης τὴν τρυφὴν ταύτην δηλοῖ. καὶ τὴν βάκκαριν δὲ ἔνιοι Λυδῶν μύρον ἔφασαν.* 42. *οἵτ' ἐπίπαν] οἱ*